Che dei tempi ascensionali da noi esposti nel modo sopra illustrato tutti i restanti dati che siano direttamente connessi con questa parte, saranno facili ad ottenersi, e che non avremo bisogno né di dimostrazioni grafiche per ciascuno di essi né di ulteriori tavole, sarà chiaro dai processi stessi qui sotto riportati.

Innanzitutto, si prende l'ampiezza di un giorno o di una notte calcolando i tempi del clima corrispondente: di giorno, quelli che vanno dal grado solare a quello diametrale secondo l'ordine dei segni; di notte, quelli (che vanno) dal grado diametrale al sole al grado solare. Preso dei tempi così assommati il quindicesimo, otterremo (il numero) di quante ore equinoziali (consta) l'intervallo considerato, mentre preso (di detti tempi) il dodicesimo, otterremo (il numero) di quanti tempi (consta) l'ora stagionale del medesimo intervallo.[1]

Si trova ancor più agevolmente l'ampiezza oraria, prendendo dalla preposta Tavola delle ascensioni *l'eccedenza dei tempi assommati posti a lato, di giorno, del grado solare, di notte, (a lato) del grado diametrale, e (ciò) sia nel parallelo che sottende l'equinoziale, sia in quello del clima considerato. Prendendo infatti dell'eccedenza trovata ⅙ e, qualora il grado assunto si trovi nell'emiciclo boreale, addizionandolo ai 15 tempi d'una singola ora equinoziale, ma sottraendolo dai medesimi 15 tempi, qualora si trovi in quello australe, faremo il totale dei tempi dell'ora stagionale in oggetto.*[2]

Dopodiché, convertiremo le ore stagionali date in equinoziali moltiplicando, quelle diurne, per i tempi orari di quel (determinato) giorno riferiti al clima corrispondente; quelle notturne per i tempi orari della notte. Preso il quindicesimo dei tempi assommati, avremo il totale delle ore equinoziali. All'inverso, convertiremo le ore equinoziali date in stagionali, moltiplicando quelle per 15 e dividendo (il risultato) per i tempi orari del proposto intervallo (orario) corrispondente.[3]

---

[1] Facciamo un esempio. Supponiamo che il Sole si trovi a 10° ♉ ed il clima sia quello di Rodi. Dalla *Tavola delle ascensioni* rileviamo che il decimo grado del Toro a Rodi ascende in 26°13′, mentre il grado opposto, 10° ♏, in 228°47′; la loro differenza risulta di 202°34′. Questo διάστημα diviso per 15 dà l'ampiezza del giorno in ore equinoziali, cioè 13^h30^m, mentre diviso per 12 dà i tempi dell'ora stagionale diurna, cioè 16°52′50″, che corrispondono a $1^h7^m31^s$, pari a 1/12 di 13^h30^m. Per la notte si procede secondo l'ordine dei segni precedenti: (360° – 228°47′) + 26°13′ = 157°26′, onde l'ampiezza della notte in ore equinoziali sarà di $10^h29^m44^s$, mentre l'ora stagionale notturna di 13°07′ = 52^m29^s.

[2] Riprendendo l'esempio della nota precedente, lungo il parallelo di Rodi ⅙ della differenza tra l'ascensione di 10° ♉ nella sfera retta (37°30′) e nella sfera obliqua (26°13′), ossia (11°17′ : 6 =) 1°52′50″, sommato a 15°, dà i tempi dell'ora stagionale diurna (16°52′50″); sottratto, dà quelli dell'ora stagionale notturna: 15° – 1°52′50″ = 13°07′, dacché la medesima differenza vale anche per 10° ♏: 228°47′ – 217° 30′ = 11° 17′.

[3] Per esemplificare il contenuto di questo paragrafo, il Toomer rimanda ad una sua appendice, oltre che al Neugebauer

πάλιν δοθέντος ἡμῖν χρόνου καὶ ὥρας ὁποιασδήποτε καιρικῆς πρῶτον μὲν τὴν ἀνατέλλουσαν τότε μοῖραν τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου ληψόμεθα πολλαπλασιάσαντες τὸ πλῆθος τῶν ὡρῶν ἡμέρας μὲν τῶν ἀπὸ ἀνατολῆς ἡλίου, νυκτὸς δὲ τῶν ἀπὸ δύσεως ἐπὶ τοὺς οἰκείους
H144 ὡριαίους χρόνους· τὸν γὰρ συναχθέντα ἀριθμὸν διεκβαλοῦμεν ἡμέρας μὲν ἀπὸ τῆς ἡλιακῆς μοίρας, νυκτὸς δὲ ἀπὸ τῆς διαμετρούσης ὡς εἰς τὰ ἑπόμενα τῶν ζῳδίων κατὰ τὰς τοῦ ὑποκειμένου κλίματος ἀναφοράς, καὶ εἰς ἣν δ' ἂν καταντήσῃ μοῖραν ὁ ἀριθμός, ἐκείνην φήσομεν τότε τὴν μοῖραν ἀνατέλλειν.[4]

ἐὰν δὲ τὴν μεσουρανοῦσαν ὑπὲρ γῆς θέλωμεν λαβεῖν, τὰς καιρικὰς ὥρας πάντοτε τὰς ἀπὸ τῆς μεσημβρίας τῆς παρελθούσης μέχρι τῆς δοθείσης πολλαπλασιάσαντες ἐπὶ τοὺς οἰκείους ὡριαίους χρόνους τὸν γενόμενον ἀριθμὸν ἐκβαλοῦμεν ἀπὸ τῆς ἡλιακῆς μοίρας εἰς τὰ ἑπόμενα κατὰ τὰς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφοράς, καὶ εἰς ἣν ἂν ἐκπέσῃ μοῖραν ὁ ἀριθμός, ἐκείνη ἡ μοῖρα τότε ὑπὲρ γῆς μεσουρανήσει.[5]

ὁμοίως δὲ ἀπὸ μὲν τῆς ἀνατελλούσης μοίρας τὴν μεσουρανοῦσαν ὑπὲρ γῆς ληψόμεθα σκεψάμενοι τὸν τῇ ἀνατελλούσῃ παρακείμενον τῆς ἐπισυναγωγῆς ἀριθμὸν ἐν τῷ τοῦ οἰκείου κλίματος κανονίῳ· ἀφελόντες γὰρ ἀπ' αὐτοῦ πάντοτε τοὺς τοῦ τεταρτημορίου χρόνους ϟ̅ τὴν παρακειμένην τῷ ἀριθμῷ μοῖραν ἐκ τῆς

Ancora, essendo dati il tempo ed una qualsivoglia ora stagionale, ricaveremo innanzitutto il grado che sorge del circolo mediano dei segni, moltiplicando il totale delle ore, di giorno di quelle (trascorse) dal sorgere del sole, di notte di quelle (trascorse) dal tramonto, per i tempi orari corrispondenti; il numero (così) assommato, lo lanceremo, di giorno, dal grado solare, di notte, dal grado diametrale secondo l'ordine dei segni seguenti lungo le ascensioni del clima considerato, e quel grado in cui perverrà il numero, diremo che quello è allora il grado che sorge.[4]

Se poi vogliamo prendere il grado che culmina sopra la terra, moltiplicate le ore stagionali sempre dal mezzogiorno precedente per i tempi orari corrispondenti, lanceremo il risultato ottenuto dal grado solare secondo la direzione dei segni seguenti lungo le ascensioni della sfera retta, e quel grado in cui cadrà il numero, proprio quel grado culminerà sopra la terra.[5]

Parimente, dal grado che sorge ricaveremo il grado che culmina sopra la terra, una volta rilevato il numero assommato posto a lato del grado che sorge nella Tavola del clima considerato; infatti, sottraendo da quello in ogni caso i 90 tempi del(l'intero) quadrante, apprenderemo in corrispondenza del numero (risultato) il gra-

---

e al Pederson. Questi autori sembrano gareggiare fra loro per ottenere la palma spettante a chi riesce a complicare maggiormente la semplice esposizione tolemaica (ma il Delambre non è da meno). Il Toomer va a pescare un esempio tratto dal IV libro; il Neugebauer un altro dal VII; il Pedersen allunga il brodo col solo risultato di confondere e demotivare lo studente inesperto. Qui Tolemeo non ha ancora chiamato in causa null'altro se non un grado del Sole ed un clima, entrambi a discrezione dello studente; e nemmeno stabilisce il numero delle ore da convertire, anch'esse a scelta, purché siano o diurne o notturne. Noi proseguiamo col nostro esempio, che vede il Sole a 10° ♉ (intorno al 2 maggio) sul parallelo di Rodi. Prendiamo a caso 4 ore stagionali diurne – poco importa in qual parte della giornata siano collocate. Dal secondo paragrafo (*v.* n. 1) sappiamo che con i dati scelti per il nostro esempio, i tempi orari dell'ora stagionale diurna sono di 16°52′50″. Ebbene, dice Tolemeo, moltiplica le 4 ore stagionali per i tempi orari corrispondenti (4 · 16°52′50″ = 67°31′20″) e, dividendo il risultato per 15, otterrai il numero delle ore equinoziali: 67°31′20″ : 15 = 4^h30^m. Inversamente, per convertire le ore equinoziali in ore stagionali, moltíplicale per 15 (4^h30^m · 15 = 67°30′) e, dividendo il risultato per i tempi orari dell'intervallo dell'ora stagionale di quel giorno a quel clima, otterrai le ore stagionali ricercate: 67°30′: 16°52′50″ = 4^h. Tutto qui!

[4] La nota del Toomer (p. 104 n. 84) lascia davvero sconcertati: «La frase […] è una parafrasi che dà il senso dell'ambigua espressione di Tolemeo». In realtà è la sua *parafrasi* ad essere ambigua – per non dire errata – contro il chiarissimo testo tolemaico. La patologica avversione per tutto ciò che possa lontanamente richiamare procedimenti astrologici (l'ascendente…), può far perdere il lume della ragione allo studioso più preparato. Nel nostro articolo "*Come Tolemeo calcolava l'ascendente e la Sorte di Fortuna*", consultabile per tutti i dettagli in questo nostro sito, abbiamo applicato il procedimento tolemaico ad un personaggio moderno, Ennio Morricone, nato a Roma il 10 novembre 1928 alle 22^h25^m, corrispondente all'ora IV della notte + ⅓ + ⅒; il sole si trovava a 18°♏15′; l'ora stagionale notturna era di 17°41′58″. Ebbene, applichiamo il procedimento tolemaico. Siccome la nascita è notturna, dobbiamo considerare il grado diametrale al sole, cioè 18°♉15′, la cui ascensione obliqua alla latitudine di Roma è di 29°35′25″. Indi, dobbiamo moltiplicare, dice Tolemeo, i tempi orari dell'ora stagionale notturna per il numero delle ore trascorse dopo il tramonto: 17°41′58″ · 4+⅓+⅒, il cui risultato, ossia 79°55′55″, va sommato all'ascensione obliqua trovata per il grado opposto al sole (18°♉15′). Dunque, 29°35′25″ + 79°55′55″ = 109°31′21″, che è l'ascensione obliqua del grado che sorge, corrispondente a 5°♌08′30″. Dove mai sta l'ambiguità?!

[5] Nella stessa nota sopra citata (*v.* n. 4) lo studioso americano trova ambiguo anche questo paragrafo («the sentence, like the corresponding one in the next problem,…»). Seguiamo Tolemeo. Sono da considerare le ore trascorse dal precedente mezzogiorno. Nel caso citato di Ennio Morricone, dal mezzogiorno precedente la nascita sono trascorse 6 ore stagionali diurne e 4+⅓+⅒ ore notturne. Moltiplichiamole per i relativi tempi d'ora stagionale: (6 · 12°18′02″=) 73°48′12″ + 79°55′55″ = 153°44′07″. Questo risultato va lanciato dall'ascensione retta del sole, quindi 153°44′07″ + 225°47′16″ = 379°31′23″, ossia 19°31′23″, che è l'ascensione retta del Mediocielo, corrispondente a 21°♈07′. Di nuovo, dove mai sta l'ambiguità?!

ἐπισυναγωγῆς τοῦ ἐπ᾽ ὀρθῆς τῆς σφαίρας σελιδίου τότε ὑπὲρ γῆς μεσουρανοῦσαν εὑρήσομεν. ἀνάπαλιν δὲ ἀπὸ τῆς ὑπὲρ γῆν μεσουρανούσης τὴν ἀνατέλλουσαν πάλιν ληψόμεθα σκεψάμενοι τὸν τῇ μεσουρανούσῃ μοίρᾳ παρακείμενον τῆς ἐπισυναγωγῆς ἀριθμὸν ἐν τῷ τῆς ὀρθῆς σφαίρας σελιδίῳ· προσθέντες γὰρ αὐτῷ πάντοτε πάλιν
H145 τοὺς αὐτοὺς ϟ̅ χρόνους ἐπισκεψόμεθα ἐκ τῆς ἐπισυναγωγῆς τοῦ ὑποκειμένου κλίματος, ποία μοῖρα παράκειται τῷ ἀριθμῷ, κἀκείνην τότε ἀνατέλλουσαν εὑρήσομεν.[6]

φανερὸν δὲ καί, ὅτι τοῖς μὲν ὑπὸ τὸν αὐτὸν μεσημβρινὸν οἰκοῦσιν ὁ ἥλιος τὰς ἴσας ἰσημερινὰς ὥρας ἀπέχει τῆς μεσημβρίας ἢ τοῦ μεσονυκτίου, τοῖς δὲ μὴ ὑπὸ τὸν αὐτὸν μεσημβρινὸν τοσούτοις ἰσημερινοῖς χρόνοις διοίσει, ὅσαις ἂν μοίραις ὁ μεσημβρινὸς τοῦ μεσημβρινοῦ παρ᾽ ἑκατέροις διαφέρῃ.

do che in quel momento culmina sopra la terra, dalla somma nella colonna della sfera retta. Viceversa, dal grado che culmina sopra la terra ricaveremo quello che sorge, una volta rilevato il numero della somma a lato del grado che culmina nella colonna della sfera retta; infatti, aggiungendo a quello sempre di nuovo i medesimi 90 tempi, vedremo dalla somma nel clima considerato, quale grado è preposto al numero, e troveremo che quello è il grado che sorge in quel momento.[6]

È dunque palese che per quelli che abitano sotto lo stesso meridiano il sole dista dal mezzogiorno o dalla mezzanotte le stesse ore equinoziali, ma per quelli non sotto il medesimo meridiano (il sole) disterà di tanti tempi equinoziali, quanti sono i gradi che distanziano reciprocamente un meridiano all'altro.

ι΄. περὶ τῶν ὑπὸ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου καὶ τοῦ μεσημβρινοῦ γινομένων γωνιῶν.

Λοιποῦ δὲ ὄντος εἰς τὴν ὑποκειμένην θεωρίαν τοῦ τὸν περὶ τῶν γωνιῶν ποιήσασθαι λόγον, λέγω δὲ τῶν πρὸς τὸν διὰ μέσων τῶν ζῳδίων κύκλον γινομένων, προληπτέον, ὅτι ὀρθὴν γωνίαν ὑπὸ μεγίστων κύκλων λέγομεν περιέχεσθαι, ὅταν πόλῳ τῇ κοινῇ τομῇ τῶν κύκλων καὶ διαστήματι τυχόντι γραφέντος κύκλου ἡ ἀπολαμβανομένη αὐτοῦ περιφέρεια ὑπὸ τῶν τὴν γωνίαν περιεχόντων τμημάτων τεταρτημόριον τοῦ γραφέντος κύ-
H146 κλου ποιῇ,[I] καθόλου τε, ὅτι, ὃν ἂν ἔχῃ λόγον ἡ ἀπολαμβανομένη περιφέρεια πρὸς τὸν γραφέντα κύκλον, καθ᾽ ὃν εἰρήκαμεν τρόπον, τοῦτον ἔχει τὸν λόγον ἡ περιεχομένη γωνία ὑπὸ τῆς κλίσεως τῶν ἐπιπέδων πρὸς τὰς τέσσαρας ὀρθάς. ὥστε, ἐπειδὴ τὴν περίμετρον ὑποτιθέμεθα τμημάτων τ̅ξ̅, ὅσων ἂν εὑρίσκηται τμημάτων ἡ ἀπολαμβανομένη περιφέρεια, τοσούτων ἔσται καὶ ἡ ὑποτείνουσα αὐτὴν γωνία, οἵων ἡ μία ὀρθὴ ϟ̅.

τῶν δὴ πρὸς τὸν λοξὸν κύκλον γινομένων γωνιῶν αἱ μάλιστα χρήσιμοι πρὸς τὴν ὑποκειμένην θεωρίαν ἐκεῖναί εἰσιν αἵ τε ὑπὸ τῆς τομῆς αὐτοῦ καὶ τοῦ μεσημβρινοῦ περιεχόμεναι καὶ αἱ ὑπὸ τῆς τομῆς αὐτοῦ καὶ τοῦ ὁρίζοντος καθ᾽ ἑκάστην θέσιν καὶ ὁμοίως αἱ ὑπὸ τῆς τομῆς αὐτοῦ

10. *Degli angoli che sono formati dal circolo mediano dei segni e dal meridiano.*

Dacché nell'ambito della trattazione intrapresa resta da far parola degli angoli, intendo di quelli che si formano con il circolo mediano dei segni, occorre dare per assunto che un angolo compreso da circoli massimi asseriamo essere retto, quando, descritto un cerchio con al polo l'intersezione comune ai circoli (massimi) e ad una distanza a caso, l'arco intercettato dalle sezioni comprendenti l'angolo forma un quarto del cerchio descritto;[I] *e in generale, che quel rapporto che l'arco intercettato ha rispetto al cerchio descritto nel modo appena detto, questo rapporto lo ha l'angolo compreso dall'inclinazione dei piani rispetto a quattro (angoli) retti. Di qui, dacché supponiamo il perimetro di 360 parti, di quante parti si trovi (consistere) l'arco intercettato, di tante sarà l'angolo che lo sottende, delle quali (parti) il singolo (angolo) retto ne ha 90.*

Degli angoli che si formano col circolo obliquo, massimamente utili per la trattazione in oggetto sono quelli compresi dalla sua intersezione col meridiano, e quelli (compresi) dalla sua intersezione con l'orizzonte in ogni posizione, e similmente quelli (compresi) dalla sua interse-

[6] In breve, Tolemeo dice che la somma dell'ascensione retta del Mediocielo + 90° dà l'ascensione obliqua del grado che sorge, mentre, sottraendo 90° all'ascensione obliqua, avremo l'ascensione retta del Mediocielo.

[I] Il disegno, qui a lato, può meglio chiarire quel che il testo descrive: ΑΒΓ e ΔΒΕ indicano i due cerchi massimi, Β è la loro intersezione, l'angolo compreso è ΔΒ̂Γ, ΒΗ è la distanza a caso (raggio sferico), ΗΘ il quarto del cerchio descritto con polo in Β.



καὶ τοῦ διὰ τῶν πόλων τοῦ ὁρίζοντος γραφομένου μεγίστου κύκλου,[2] συναποδεικνυμένων ταῖς τοιαύταις γωνίαις καὶ τῶν ἀπολαμβανομένων τούτου τοῦ κύκλου περιφερειῶν ὑπό τε τῆς τομῆς καὶ τοῦ πόλου τοῦ ὁρίζοντος, τουτέστιν τοῦ κατὰ κορυφὴν σημείου. ἕκαστα γὰρ τῶν ἐκκειμένων ἀποδειχθέντα πρός τε τὴν θεωρίαν αὐτὴν ἱκανωτάτην ἔχει χώραν καὶ πρὸς τὰ περὶ τὰς παραλλάξεις τῆς σελήνης ἐπιζητούμενα μάλιστα συμβάλλεται τὸ πλεῖστον, μηδαμῶς τῆς τοιαύτης καταλήψεως προχωρεῖν δυναμένης ἄνευ τῆς ἐκείνων προδιαλήψεως.

ἐπεὶ δὲ καὶ τεσσάρων οὐσῶν γωνιῶν τῶν
H147 περιεχομένων ὑπὸ τῆς τῶν δύο κύκλων τομῆς, τουτέστιν τοῦ διὰ μέσων τῶν ζῳδίων καὶ ἑνὸς τῶν συμπλεκομένων αὐτῷ, περὶ μιᾶς τῆς κατὰ τὴν θέσιν ὁμοίας τὸν λόγον ποιεῖσθαι μέλλομεν, προδιοριστέον, ὅτι καθόλου τῶν δύο γωνιῶν τῶν περὶ τὴν ἑπομένην τῇ κοινῇ τομῇ τῶν κύκλων περιφέρειαν τοῦ διὰ μέσων τῶν ζῳδίων τὴν ἀπ᾿ ἄρκτων ὑπακουστέον, ὥστε τὰ συμβαίνοντα καὶ τὰς πηλικότητας τὰς ἀποδειχθησομένας εἶναι τῶν οὕτως ἐχουσῶν γωνιῶν. ἁπλουστέρας δὲ τῆς δείξεως οὔσης τῶν πρὸς τὸν μεσημβρινὸν κύκλον θεωρουμένων τοῦ λοξοῦ γωνιῶν ἀπὸ τούτων ἀρξόμεθα καὶ δείξομεν πρῶτον, ὅτι τὰ ἴσον ἀπέχοντα τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου σημεῖα τὰς ἐκκειμένας γωνίας ἴσας ἀλλήλαις ποιεῖ.

ἔστω γὰρ ἰσημερινοῦ μὲν περιφέρεια ἡ ΑΒΓ, τοῦ δὲ διὰ μέσων τῶν ζῳδίων ἡ ΔΒΕ, πόλος δὲ τοῦ ἰσημερινοῦ τὸ Ζ σημεῖον, καὶ ἀποληφθεισῶν ἴσων περιφερειῶν τῆς τε ΒΗ καὶ ΒΘ ἐφ᾿ ἑκάτερα τοῦ Β ἰσημερινοῦ σημείου γεγράφθωσαν διὰ τοῦ Ζ πόλου καὶ τῶν Η, Θ σημείων μεσημβρινῶν κύκλων περιφέρειαι
H148 ἥ τε ΖΚΗ καὶ ἡ ΖΘΛ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ὑπὸ ΚΗΒ γωνία τῇ ὑπὸ ΖΘΕ. καί ἐστιν αὐτόθεν φανερόν· ἰσογώνιον γὰρ γίνεται τὸ ΒΗΚ τρίπλευρον τῷ ΒΘΛ, ἐπειδήπερ καὶ τὰς τρεῖς πλευρὰς ταῖς τρισὶν πλευραῖς ἴσας ἔχει ἑκάστην ἑκάστῃ, τὴν μὲν ΗΒ τῇ ΒΘ, τὴν δὲ ΗΚ τῇ ΘΛ, τὴν δὲ ΒΚ τῇ ΒΛ· δέδεικται γὰρ πάντα ταῦτα ἐν τοῖς ἔμπροσθεν· καὶ γωνία ἄρα ἡ ὑπὸ ΚΗΒ γωνίᾳ τῇ ὑπὸ ΒΘΛ, τουτέστιν τῇ ὑπὸ ΖΘΕ, ἐστιν ἴση· ὅπερ ἔδει δεῖξαι.



πάλιν δεικτέον, ὅτι τῶν τὸ ἴσον ἀπεχόντων σημείων τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου τοῦ αὐτοῦ τροπικοῦ σημείου αἱ πρὸς τὸν μεσημβρινὸν

zione col cerchio massimo che si descrive attraverso i poli dell'orizzonte,[2] *insieme dimostrandosi con tali angoli anche gli archi di questo circolo, intercettati dall'intersezione (dell'eclittica) col polo dell'orizzonte, vale a dire col punto al vertice. Ognuna delle operazioni evidenziate, una volta dimostrata, riveste per la trattazione in sé un ruolo importantissimo, e per le ricerche intorno alle parallassi della luna contribuisce di certo in massimo grado, non potendo affatto progredire una tale cognizione senza preventiva acquisizione di quelle operazioni.*

Dacché, pur essendo quattro gli angoli compresi dall'intersezione di due circoli, cioè del circolo mediano dei segni e di uno di quelli che s'incrociano con esso, ne tratteremo uno solo, in posizione sempre similare, occorre innanzitutto definire che in generale dei due angoli intorno all'arco del circolo mediano dei segni, susseguente alla comune intersezione dei circoli, va inteso quello a settentrione, cosicché gli accidenti e le grandezze che saranno dimostrate, s'applicano agli angoli così posti. Ed essendo più semplice la dimostrazione degli angoli del circolo obliquo che si osservano col circolo meridiano, cominceremo da questi e mostreremo in primo luogo che i punti del circolo mediano dei segni ugualmente distanti dal medesimo punto equinoziale fanno gli angoli detti tra loro uguali.

Sia, dunque, ΑΒΓ l'arco dell'equinoziale e ΔΒΕ quello del cerchio mediano dei segni, il punto Ζ (sia) il polo dell'equinoziale, e, presi (due) archi uguali, ossia ΒΗ e ΒΘ, da entrambe le parti del punto equinoziale Β, siano descritti attraverso il polo Ζ e i punti Η e Θ gli archi di circoli meridiani ΖΚΗ e ΖΘΛ. Dico che l'angolo sotto ΚΗΒ è uguale a quello sotto ΖΘΕ; ed è evidente da questo: che il trilatero ΒΗΚ è equiangolo a ΒΘΛ, per il fatto che i tre lati dell'uno sono uguali ai tre lati dell'altro, ossia ΗΒ a ΒΘ, ΗΚ a ΘΛ, e ΒΚ a ΒΛ. Tutte queste cose, infatti, sono dimostrate nelle esposizioni precedenti. Inoltre, l'angolo sotto ΚΗΒ è uguale a quello sotto ΒΘΛ, (uguale) cioè a ΖΘΕ. Il che dovevasi appunto dimostrare.

In aggiunta, occorre dimostrare che di due punti del circolo mediano dei segni ugualmente distanti dal medesimo punto tropicale gli angoli

[2] È qui inteso il (semicerchio) *verticale*, sul quale si misura l'*altezza* di un punto sopra l'orizzonte, onde lo zenit ha un'altezza di +90°.

γινόμεναι γωνίαι συναμφότεραι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

ἔστω γὰρ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου περιφέρεια ἡ ΑΒΓ τοῦ Β ὑποκειμένου τροπικοῦ σημείου, καὶ ἀποληφθεισῶν ἐφ᾽ ἑκάτερα αὐτοῦ περιφερειῶν ἴσων τῆς τε ΒΔ καὶ τῆς ΒΕ γεγράφθωσαν διὰ τῶν Δ καὶ Ε σημείων καὶ τοῦ Ζ πόλου τοῦ ἰσημερινοῦ μεσημβρινῶν κύκλων περιφέρειαι
H149 ἥ τε ΖΔ καὶ ἡ ΖΕ. λέγω, ὅτι ἥ τε ὑπὸ ΖΔΒ γωνία καὶ ἡ ὑπὸ ΖΕΓ συναμφότεραι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἔστι δὲ καὶ τοῦτο δῆλον αὐτόθεν. ἐπεὶ γὰρ τὰ Δ καὶ Ε σημεῖα ἴσον ἀπέχει τοῦ αὐτοῦ τροπικοῦ σημείου, ἴση ἐστὶ καὶ ἡ ΔΖ περιφέρεια τῇ ΖΕ· καὶ γωνία ἄρα ἡ ὑπὸ ΖΔΒ γωνίᾳ τῇ ὑπὸ ΖΕΒ ἴση ἐστίν. ἀλλὰ ἡ ὑπὸ ΖΕΒ καὶ ΖΕΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ ἡ ὑπὸ ΖΔΒ ἄρα μετὰ τῆς ὑπὸ ΖΕΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἔδει δεῖξαι.



che si formano col meridiano sono, l'uno e l'altro insieme, uguali a due angoli retti.

Sia, dunque, ΑΒΓ l'arco del circolo mediano dei segni, essendo Β il punto equinoziale considerato, e, presi due archi uguali da entrambe le parti di esso, ossia ΒΔ e ΒΕ, siano descritti attraverso i punti Δ, Ε e Ζ, polo dell'equinoziale, gli archi di circoli meridiani ΖΔ e ΖΕ. Dico che l'angolo sotto ΖΔΒ e sotto ΖΕΓ, l'uno e l'altro insieme, sono uguali a due angoli retti. Ed anche questo è chiaro da quanto segue: dacché, infatti, i punti Δ ed Ε distano in misura uguale dal medesimo punto tropicale, anche l'arco ΔΖ è uguale a ΖΕ; e per certo anche l'angolo sotto ΖΔΒ è uguale a quello sotto ΖΕΒ. Ma gli angoli sotto ΖΕΒ e ΖΕΓ sono uguali a due retti; come pure lo sono quello sotto ΖΔΒ unito a quello sotto ΖΕΓ. Il che dovevasi appunto dimostrare.

τούτων προτεθεωρημένων ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ ΑΒΓΔ, τοῦ δὲ διὰ μέσων τῶν ζῳδίων ἡμικύκλιον τὸ ΑΕΓ τοῦ Α σημείου ὑποκειμένου τοῦ χειμερινοῦ τροπικοῦ, καὶ πόλῳ τῷ Α, διαστήματι δὲ τῇ τοῦ τετραγώνου πλευρᾷ γεγράφθω τὸ ΒΕΔ ἡμικύκλιον.[3] ἐπεὶ τοίνυν ὁ ΑΒΓΔ μεσημβρινὸς διά τε τῶν τοῦ ΑΕΓ πόλων καὶ διὰ τῶν τοῦ ΒΕΔ γέγραπται, τεταρτημορίου ἐστὶν ἡ ΕΔ περιφέρεια· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΔΑΕ γωνία. ὀρθὴ δὲ διὰ τὰ προδεδειγμένα καὶ ἡ ὑπὸ τοῦ θερινοῦ τροπικοῦ σημείου γινομένη· ὅπερ ἔδει δεῖξαι.



Premesso l'esame di quanto sopra, sia ΑΒΓΔ il circolo meridiano ed ΑΕΓ l'emiciclo del circolo mediano dei segni, supponendo Α il punto tropicale invernale, con polo in Α ed una distanza pari al lato del quadrato (inscritto) si descriva l'emiciclo ΒΕΔ.[3] *Di qui, siccome il meridiano ΑΒΓΔ è descritto per i poli di ΑΕΓ e di ΒΕΔ, l'arco ΕΔ è un quadrante (e) l'angolo sotto ΔΑΕ è giocoforza retto. Ma, per quanto sopra dimostrato, è retto anche quello sotto il punto tropicale estivo. Il che dovevasi appunto dimostrare.*

H150 πάλιν ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ ΑΒΓΔ, ἰσημερινοῦ δὲ ἡμικύκλιον τὸ ΑΕΓ, καὶ γεγράφθω τοῦ διὰ μέσων τῶν ζῳδίων τὸ ΑΖΓ ἡμικύκλιον οὕτως, ὥστε τὸ Α σημεῖον εἶναι τὸ μετοπωρινὸν ἰσημερινόν, πόλῳ τε τῷ Α καὶ διαστήματι τῇ τοῦ τετραγώνου πλευρᾷ γεγράφθω τὸ ΒΖΕΔ

Ancora, siano ΑΒΓΔ il circolo meridiano e ΑΕΓ l'emiciclo dell'equinoziale, e si descriva l'emiciclo ΑΖΓ del (circolo) mediano dei segni così che il punto Α sia l'equinozio autunnale; poi, con polo in Α ed una distanza pari al lato di un quadrato (inscritto) si tracci l'emiciclo

[3] Questa dimostrazione richiama quella esposta all'inizio del capitolo (*v.* n. 1), con la differenza che là la distanza (διάστημα), cioè il raggio sferico, non è determinata, qui sì. Secondo il Toomer (p. 106 n. 90) tale dimostrazione potrebbe derivare da Teodosio, *Sphaerica* II 9, mentre lo Heiberg richiama «Theodos. I,9», ove si dice che: ἐὰν ᾖ ἐν σφαίρᾳ κύκλος, ἀπὸ δέ τινος τῶν πόλων αὐτοῦ ἐπ᾽ αὐτὸν κάθετος εὐθεῖα γραμμὴ ἀχθῇ· ἐπὶ τὸ κέντρον πεσεῖται τοῦ κύκλου, καὶ προσεκβαλλομένη ἐπὶ τὸν ἕτερον πόλον πεσεῖται τοῦ κύκλου (*se in una sfera si ha un cerchio, e da uno dei suoi poli si traccia a perpendicolo una linea retta, [questa] cadrà nel centro del cerchio e, prolungata, cadrà nell'altro polo del cerchio).* Ebbene, non pare che questa proposizione abbia una qualche connessione col testo tolemaico. Lo stesso dicasi del luogo citato dal Toomer, sempreché non si tratti di un refuso. I teoremi che paiono aver attinenza sono quelli rappresentati dalle proposizioni I.16 e I.17. Il primo dice: «Se si ha un cerchio massimo in una sfera, la retta (descritta) dal suo polo è uguale al lato del quadrato inscritto nel cerchio massimo (ἐὰν ᾖ ἐν σφαίρᾳ μέγιστος κύκλος, ἡ ἐκ τοῦ πόλου αὐτοῦ ἴση ἐστὶ τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου)»; il secondo: «Se si ha un cerchio in una sfera e la retta dal suo polo è uguale al lato del quadrato inscritto nel cerchio massimo, anche questo cerchio sarà un cerchio massimo (ἐὰν ᾖ ἐν σφαίρᾳ κύκλος, ἡ δὲ ἐκ τοῦ πόλου αὐτοῦ ἴση ᾖ τῇ τοῦ τετραγώνου πλευρᾷ τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου, καὶ αὐτὸς μέγιστος ἔσται)» (*cf. Theodosii Sphaericorum libros tres* E. Nizze recognovit..., Berolini [Reimer] 1852, p. 14 s.

ἡμικύκλιον. διὰ τὰ αὐτὰ δή, ἐπεὶ ὁ ΑΒΓΔ διά τε τῶν τοῦ ΑΕΓ καὶ διὰ τῶν τοῦ ΒΕΔ πόλων γέγραπται, τεταρτημορίου ἐστὶν ἥ τε ΑΖ καὶ ἡ ΕΔ· ὥστε καὶ τὸ μὲν Ζ σημεῖον ἔσται τὸ χειμερινὸν τροπικόν, ἡ δὲ ΖΕ περιφέρεια τῶν ἀποδεδειγμένων μοιρῶν κγ να ἔγγιστα. καὶ ὅλη μὲν ἄρα ἡ ΖΕΔ περιφέρεια μοιρῶν ἐστιν ριγ να, ἡ δὲ ὑπὸ ΔΑΖ γωνία τοιούτων ριγ να, οἵων ἐστὶν ἡ μία ὀρθὴ ϙ. διὰ δὲ τὰ προδεδειγμένα πάλιν καὶ ἡ ὑπὸ τοῦ ἐαρινοῦ ἰσημερινοῦ σημείου γινομένη γωνία τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς ἔσται μοιρῶν ξϛ θ.



πάλιν ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ ΑΒΓΔ καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ ΑΕΓ, τοῦ δὲ διὰ μέσων τῶν ζῳδίων τὸ ΒΖΔ, ὥστε τὸ μὲν Ζ σημεῖον ὑποκεῖσθαι τὸ μετοπωρινόν, τὴν δὲ ΒΖ περιφέρειαν πρῶ-
H151 τον ἑνὸς δωδεκατημορίου τοῦ τῆς Παρθένου καὶ τὸ Β σημεῖον ἀρχὴν δηλονότι τῆς Παρθένου· πόλῳ δὲ πάλιν τῷ Β, διαστήματι δὲ τῇ τοῦ τετραγώνου πλευρᾷ γεγράφθω τὸ ΗΘΕΚ ἡμικύκλιον, καὶ προκείσθω τὴν ὑπὸ ΚΒΘ γωνίαν εὑρεῖν.



ἐπεὶ τοίνυν ὁ ΑΒΓΔ μεσημβρινὸς διά τε τῶν τοῦ ΑΕΓ καὶ διὰ τῶν τοῦ ΗΕΚ πόλων γέγραπται, τεταρτημορίου μὲν ἑκάστη γίνεται τῶν ΒΗ καὶ ΒΘ καὶ ΕΗ περιφερειῶν. διὰ δὲ τὴν καταγραφὴν ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΒΑ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΗ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΒΖ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΘΖ καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΘΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΗ.[4] ἀλλ' ἡ μὲν διπλῆ τῆς ΒΑ διὰ τὰ προδεδειγμένα μοιρῶν ἐστιν κγ κ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων κδ ιϛ, ἡ δὲ διπλῆ τῆς ΑΗ μοιρῶν ρνϛ μ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ριζ λα, καὶ πάλιν ἡ μὲν διπλῆ τῆς ΖΒ μοιρῶν ξ καὶ ἡ ὑπὸ αὐτὴν
H152 εὐθεῖα τμημάτων ξ, ἡ δὲ διπλῆ τῆς ΖΘ μοιρῶν ρκ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ργ νε κγ. ἐὰν ἄρα πάλιν ἀπὸ τοῦ τῶν κδ ιϛ πρὸς τὰ ριζ λα λόγου ἀφέλωμεν τὸν τῶν ξ πρὸς τὰ ργ νε κγ, καταλειφθήσεται ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΘΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΗ λόγος ὁ τῶν μβ νη ἔγγιστα πρὸς τὰ ρκ. καί ἐστιν ἡ ὑπὸ τὴν διπλῆν τῆς ΕΗ τμημάτων ρκ· καὶ ἡ ὑπὸ τὴν

ΒΖΕΔ. Proprio per gli stessi motivi, dacché ΑΒΓΔ è descritto sia per i poli di ΑΕΓ che per quelli di ΒΕΔ, ΑΖ ed ΕΔ sono quarti (di circonferenza), onde il punto Ζ sarà il tropico invernale e ΖΕ l'arco dei (già) dimostrati 23° 51′ circa. L'intero arco ΖΕΔ risulta perciò di 113° 51′ e l'angolo sotto ΔΑΖ di tali 113 gradi e 51′, di cui l'angolo retto ne contiene 90. Di nuovo per le ragioni sopra dimostrate, l'angolo risultante sotto il punto equinoziale primaverile sarà dei mancanti 66° 9′ per (completare) due angoli retti.

Ancora, sia ΑΒΓΔ il circolo meridiano e ΑΕΓ l'emiciclo dell'equinoziale, e ΒΖΔ quello del (circolo) mediano dei segni, cosicché il punto Ζ sia posto come il punto autunnale, e l'arco ΒΖ sia innanzitutto quello di un dodecatemorio, ossia della Vergine, e il punto Β, ovviamente, l'inizio della Vergine; indi, con polo in Β si descriva l'emiciclo ΗΘΕΚ alla distanza del lato di un quadrato, e il proposito sia di trovare l'angolo sotto ΚΒΘ.

Dacché, pertanto, il meridiano ΑΒΓΔ è descritto per i poli e di ΑΕΓ e di ΗΕΚ, ciascuno degli archi ΒΗ, ΒΘ ed ΕΗ risulta di un quarto (di cerchio). Stando al grafico, il rapporto dell'arco sotto il doppio di ΒΑ rispetto a quello sotto il doppio di ΑΗ è combinato dal rapporto dell'arco sotto il doppio di ΒΖ rispetto all'arco sotto il doppio di ΘΖ e da quello dell'arco sotto il doppio di ΘΕ rispetto a quello sotto il doppio di ΕΗ;[4] ma il doppio di ΒΑ, grazie a quanto sopra, è di 23 gradi e 20′ e la retta sottesa di 24 parti e 16′; il doppio di ΑΗ (è) di 156°40′ e la retta sottesa di $117^{p}31'$*; ed, ancora, il doppio di ΖΒ è di 60 gradi e la corda sotto di esso di 60 parti; il doppio, poi, di ΖΘ (è) di 120 gradi e la retta sotto di esso (è) di 103 parti 55′23″. Ordunque, se dal rapporto di* $24^{p}16'$ *rispetto a* $117^{p}31'$ *togliamo quello di* 60^{p} *rispetto a* $103^{p}55'23''$*, rimarrà il rapporto della (retta) sotto il doppio di ΘΕ rispetto a quella sotto il doppio di ΕΗ, ossia di* $42^{p}58'$ *rispetto a* 120^{p}*. Ma la retta sotto il doppio di ΕΗ è proprio di* 120^{p}*, onde quella*

[4] Altra applicazione del teorema di Menelao: crd2BA : crd2AH = (crd2BZ : crd2ZΘ) · (crd2ΘE : crd2EH). Orbene, stabilito che EH è di 90°, la sua corda sarà di 120^{P}; dalla *Tavola dell'obliquità* (libro 1) rileviamo che BA è di 11°39′59″, il cui doppio (23°19′58″, che Tolemeo arrotonda a 23°20′) sottende una corda di $24^{P}16'$ (da 24°15′56″). Per trovare AH, dobbiamo sottrarre BA da BH, ossia 90° – 11°40′ = 78°20′, il cui doppio (156°40′) sottende una corda di 117°31′ ca. Dacché ZB è un intero segno, sottratto a 90°, dà 60°, il cui doppio (60° · 2 = 120°) sottende una corda di 103°55′23″.

διπλῆν ἄρα τῆς ΘΕ τῶν αὐτῶν ἐστιν μβ νη.[5] *ὥστε καὶ ἡ μὲν διπλῆ τῆς ΘΕ μοιρῶν ἐστιν μβ ἔγγιστα, αὐτὴ δὲ ἡ ΘΕ τῶν αὐτῶν κα. καὶ ὅλη μὲν ἄρα ἡ ΘΕΚ αὐτή τε καὶ ἡ ὑπὸ ΚΒΘ γωνία μοιρῶν ἐστιν ρια, διὰ δὲ τὰ προαποδεδειγμένα καὶ ἡ μὲν ὑπὸ τῆς ἀρχῆς τοῦ Σκορπίου γινομένη γωνία τῶν ἴσων ἔσται μοιρῶν ρια, ἑκατέρα δὲ ἥ τε ὑπὸ τῆς ἀρχῆς τοῦ Ταύρου καὶ τῆς ἀρχῆς τῶν Ἰχθύων τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς μοιρῶν ξθ· ὅπερ ἔδει δεῖξαι.*

πάλιν ἐπὶ τῆς αὐτῆς καταγραφῆς ἡ ΖΒ περιφέρεια ὑποκείσθω δύο δωδεκατημορίων, ὥστε τὸ Β σημεῖον εἶναι τὴν ἀρχὴν τοῦ Λέοντος καὶ τῶν αὐτῶν ὑποκειμένων τὴν μὲν διπλῆν τῆς ΒΑ μοιρῶν εἶναι μα καὶ τὴν ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων μβ β, τὴν δὲ διπλῆν τῆς ΑΗ μοιρῶν ρλθ καὶ τὴν ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ριβ κδ,
H153 *καὶ πάλιν τὴν μὲν διπλῆν τῆς ΖΒ μοιρῶν ρκ καὶ τὴν ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ργ νε κγ, τὴν δὲ διπλῆν τῆς ΖΘ μοιρῶν ξ καὶ τὴν ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ξ. ἐὰν ἄρα πάλιν ἀπὸ τοῦ τῶν μβ β πρὸς τὰ ριβ κδ λόγου ἀφέλωμεν τὸν τῶν ργ νε κγ πρὸς τὰ ξ, καταλειφθήσεται ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΘΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΗ λόγος ὁ τῶν κε νγ πρὸς τὰ ρκ· ἡ ἄρα ὑπὸ τὴν διπλῆν τῆς ΘΕ γίνεται τῶν αὐτῶν κε νγ. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς ΘΕ μοιρῶν ἔσται κε ἔγγιστα, αὐτὴ δὲ ἡ ΘΕ τῶν αὐτῶν ιβ L′. ὅλη μὲν ἄρα ἡ ΘΕΚ αὐτή τε καὶ ἡ ὑπὸ ΚΒΘ γωνία μοιρῶν ἐστιν ρβ L′, διὰ ταὐτὰ δὲ καὶ ἡ μὲν ὑπὸ τῆς ἀρχῆς τοῦ Τοξότου περιεχομένη γωνία τῶν ἴσων ρβ L′, ἑκατέρα δὲ ἥ τε ὑπὸ τῆς ἀρχῆς τῶν Διδύμων καὶ τῆς ἀρχῆς τοῦ Ὑδροχόου τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς μοιρῶν οζ L′.*[6] *καὶ δέδεικται ἡμῖν τὰ προκείμενα τῆς μὲν αὐτῆς ἐσομένης ἀγωγῆς καὶ ἐπὶ τῶν ἔτι μικρομερεστέρων τοῦ λοξοῦ κύκλου τμημάτων, ἀπαρκούσης δ’ ὡς πρὸς αὐτὴν τὴν τῆς πραγματείας χρῆσιν καὶ τῆς καθ’ ἕκαστον τῶν δωδεκατημορίων ἐκθέσεως.*

sotto il doppio di ΘE è delle medesime $42^p 58'$.[5] *Sicché anche il doppio di ΘE è di circa 42°, e lo stesso ΘE dei medesimi 21°. E per certo l'intero arco ΘEK stesso e l'angolo sotto KBΘ è di 111°, ma in virtù di quanto sopra dimostrato anche l'angolo che si forma dall'inizio dello Scorpione sarà di 111°, ma sia quello dall'inizio del Toro che quello dall'inizio dei Pesci (saranno) entrambi dei 69° restanti al complemento di due angoli retti. Il che dovevasi dimostrare.*

Proseguendo, nello stesso grafico, si supponga l'arco ZB di due dodecatemorî, in modo che il punto B sia l'inizio del Leone ed, essendo ipotizzate le medesime condizioni, il doppio dell'arco BA sia di 41° e la retta sotto di esso di $42^p 2'$, ed il doppio dell'arco AH (sia) di 139° e la retta sotto di esso di $112^p 24'$, ed, ancora, il doppio dell'arco ZB (sia) di 120° e la retta sotto di esso di $103^p 55' 23''$, mentre il doppio dell'arco ZΘ sia di 60° e la retta sotto di esso sia di 60^p. Se di nuovo, dunque, dal rapporto delle $42^p 2'$ rispetto alle $112^p 24'$ togliamo quello delle $103^p 55' 23''$ rispetto alle 60^p, rimarrà il rapporto della retta sotto il doppio di ΘE rispetto a quella sotto il doppio di EH, ossia di $25^p 53'$ rispetto a 120^p; ma la retta sotto il doppio di ΘE è delle medesime $25^p 53'$. Sicché anche il doppio di ΘE sarà di circa 25° e lo stesso ΘE dei medesimi 12½°. Per certo l'intero arco ΘEK stesso e l'angolo sotto KBΘ è di 102½°, ma per gli stessi motivi l'angolo compreso dall'inizio del Sagittario (è) del pari di 102½°, ma quello dall'inizio dei Gemelli e dall'inizio del Mescitor d'acqua (saranno) entrambi dei 77½° restanti al complemento di due angoli retti.[6] *Ecco da noi dimostrato quanto proposto, essendo la medesima procedura valida anche per sezioni minori del circolo obliquo, bastando tuttavia nella pratica l'esposizione per ciascuno dei dodecatemorî.*

H154 ια′. Περὶ τῶν ὑπὸ τοῦ αὐτοῦ λοξοῦ κύκλου καὶ τοῦ ὁρίζοντος γινομένων γωνιῶν.

Ἐφεξῆς δὲ δείξομεν, πῶς ἂν λαμβάνοιμεν ἐπὶ τοῦ διδομένου κλίματος καὶ τὰς πρὸς τὸν ὁρίζοντα τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου γινομένας γωνίας ἁπλουστέραν καὶ αὐτὰς

11. *Degli angoli che si formano tra il medesimo circolo obliquo e l' orizzonte.*

Di seguito mostreremo come, ad un dato clima, possiamo rilevare anche gli angoli che si formano tra l'orizzonte e il circolo mediano dei segni, (angoli) ottenibili con un procedimen-

[5] Sostituendo nella formula della nota precedente i valori esposti, il risultato di $24^p 16' : 117^p 31' = (60^p : 103^p 55' 23'') \cdot (\mathrm{crd}2\Theta E : 120^p)$ sarà di $42^p 55' 09''$ (cui corrisponde un arco di $41°54'47''/2$, ossia $20°57'54''$), discrepante da quello indicato di $42^p 58'$, corda sottesa ad un arco di $20°58'51''$. In ogni caso, l'approssimazione al minuto primo darebbe una differenza di $1'$, mentre la grossolana approssimazione al grado porta entrambi i risultati a ΘE = 21°.

[6] Lo studente, sull'esempio di quanto illustrato nelle note 4 e 5, potrà verificare da sé i calcoli tolemaici, tenendo presente che le approssimazioni sono le medesime.

ἐχούσας τὴν μέθοδον τῶν λοιπῶν. ὅτι μὲν οὖν αἱ πρὸς τὸν μεσημβρινὸν γινόμεναι αἱ αὐταί εἰσιν ταῖς πρὸς τὸν ἐπ᾽ ὀρθῆς τῆς σφαίρας ὁρίζοντα, φανερόν· ἕνεκεν δὲ τοῦ καὶ τὰς ἐπὶ τῆς ἐγκεκλιμένης σφαίρας λαμβάνεσθαι δεικτέον πάλιν πρῶτον, ὅτι τὰ ἴσον ἀπέχοντα σημεῖα τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου τὰς γινομένας πρὸς τὸν αὐτὸν ὁρίζοντα γωνίας ἴσας ἀλλήλαις ποιεῖ.

ἔστω γὰρ μεσημβρινὸς κύκλος ὁ ΑΒΓΔ καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ ΑΕΓ, ὁρίζοντος δὲ τὸ ΒΕΔ, καὶ γεγράφθω τοῦ λοξοῦ κύκλου δύο τμήματα τό τε ΖΗΘ καὶ τὸ ΚΛΜ οὕτως ἔχοντα, ὥστε ἑκάτερον μὲν τῶν Ζ καὶ Κ σημείων ὑποκεῖσθαι τὸ μετοπωρινὸν ἰσημερινόν, τὴν δὲ ΖΗ περιφέρειαν τῇ
H155 ΚΛ ἴσην. λέγω, ὅτι καὶ ἡ ὑπὸ ΕΗΘ γωνία ἴση ἐστὶν τῇ ὑπὸ ΔΛΚ. καί ἐστιν αὐτόθεν δῆλον· ἰσογώνιον γὰρ πάλιν γίνεται τὸ ΕΖΗ τρίπλευρον τῷ ΕΚΛ, ἐπεὶ διὰ τὰ προδεδειγμένα καὶ τὰς τρεῖς πλευρὰς ταῖς τρισὶ πλευραῖς ἴσας ἔχει ἑκάστην ἑκάστῃ, τὴν μὲν ΖΗ τῇ ΚΛ, τὴν δὲ ΗΕ τῆς τομῆς τοῦ ὁρίζοντος τῇ ΕΛ, τὴν δὲ ΕΖ τῆς ἀναφορᾶς τῇ ΕΚ. ἴση ἄρα ἐστὶν καὶ ἡ μὲν ὑπὸ ΕΗΖ γωνία τῇ ὑπὸ ΕΛΚ, λοιπὴ δὲ ἡ ὑπὸ ΕΗΘ λοιπῇ τῇ ὑπὸ ΔΛΚ ἴση ἐστίν· ὅπερ ἔδει δεῖξαι.



λέγω δέ, ὅτι καὶ τῶν διαμετρούντων σημείων ἡ τοῦ ἑτέρου ἀνατολικὴ μετὰ τῆς τοῦ ἑτέρου δυτικῆς δυσὶν ὀρθαῖς ἴση ἐστίν. ἐὰν γὰρ γράψωμεν ὁρίζοντα μὲν κύκλον τὸν ΑΒΓΔ, τὸν δὲ διὰ μέσων τῶν ζῳδίων τὸν ΑΕΓΖ τέμνοντας ἀλλήλους κατὰ τὰ Α καὶ Γ σημεῖα, συναμφότεραι μὲν ἥ τε ὑπὸ ΖΑΔ καὶ ἡ ὑπὸ ΔΑΕ δυσὶν ὀρθαῖς ἴσαι γίνονται.
H156 ἴση δὲ ἡ ὑπὸ ΖΑΔ τῇ ὑπὸ ΖΓΔ· ὥστε καὶ συναμφοτέρας τήν τε ὑπὸ ΖΓΔ καὶ τὴν ὑπὸ ΔΑΕ δύο ὀρθὰς ποιεῖν· ὅπερ ἔδει δεῖξαι.



ἐπισυμβήσεταί τε τούτων οὕτως ἐχόντων, ἐπείπερ ἐδείχθησαν καὶ τῶν ἴσον ἀπεχόντων τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου αἱ πρὸς τὸν αὐτὸν ὁρίζοντα θεωρούμεναι γωνίαι ἴσαι, τὸ καὶ τῶν τὸ ἴσον ἀπεχόντων τοῦ αὐτοῦ τροπικοῦ σημείου τὴν τοῦ ἑτέρου ἀνατολικὴν καὶ τὴν τοῦ ἑτέρου δυτικὴν συναμφοτέρας δυσὶν ὀρθαῖς ἴσας εἶναι. ὥστε καὶ διὰ τοῦτο, ἐὰν τὰς ἀπὸ Κριοῦ μέχρι τῶν Χηλῶν γινομένας ἀνατολικὰς γωνίας εὕρωμεν, συναποδεδειγμέναι ἔσονται καὶ αἱ τοῦ ἑτέρου ἡμικυκλίου ἀνατολικαὶ καὶ ἔτι αἱ τῶν δύο ἡμικυκλίων δυτικαί. ὃν δὲ τρόπον δείκνυται,

to più semplice degli altri. Che dunque quelli che si formano col meridiano siano i medesimi di quelli con l'orizzonte nella sfera retta, è evidente; ma quanto a rilevare quelli nella sfera obliqua è necessario innanzitutto mostrare che i punti del circolo mediamo dei segni ugualmente distanti dal punto equinoziale fanno gli angoli che si formano con il medesimo orizzonte uguali tra loro.

Sia dunque ΑΒΓΔ il circolo meridiano e ΑΕΓ l'emiciclo dell'equinoziale, mentre ΒΕΔ quello dell'orizzonte, e si descrivano due sezioni del cerchio obliquo, ΖΗΘ e ΚΛΜ, tali per cui l'uno e l'altro dei punti Ζ e Κ si suppongano (segnare) l'equinozio autunnale, e l'arco ΖΗ uguale a ΚΛ. Dico che l'angolo sotto ΕΗΘ è uguale a quello sotto ΔΛΚ. Ed è evidente da questo: che il trilatero ΕΖΗ risulta all'inverso equiangolo ad ΕΚΛ, dacché per quanto sopra dimostrato i (loro) tre lati sono rispettivamente uguali: ΖΗ (è uguale) a ΚΛ; ΗΕ, sezione d'orizzonte, (è uguale) a ΕΛ; ed ΕΖ, lato dell'ascensione, (è uguale) a ΕΚ. E per certo anche l'angolo sotto ΕΗΖ è uguale a quello sotto ΕΛΚ, ed il supplemento sotto ΕΗΘ è uguale al supplemento sotto ΔΛΚ. Il che appunto occorreva dimostrare.

Dico altresì che (gli angoli) nei due punti diametralmente opposti, quello a oriente con quello ad occidente, sono uguali a due retti. Se infatti descriviamo per ΑΒΓΔ l'orizzonte e per ΑΕΓΖ il circolo mediano dei segni secantisi nei punti Α e Γ, l'angolo sotto ΖΑΔ insieme con quello sotto ΔΑΕ risultano uguali a due retti. Ed anche quello sotto ΖΑΔ è uguale a quello sotto ΖΓΔ, sicché l'angolo sotto ΖΓΔ insieme con quello sotto ΔΑΕ fanno due retti. Il che appunto occorreva dimostrare.

E, stando così le cose, dacché gli angoli che si osservano sul medesimo orizzonte nei punti ugualmente distanti dal medesimo punto equinoziale, sono stati dimostrati uguali, ne conseguirà che anche nei punti egualmente distanti dallo stesso punto tropicale l'angolo orientale dell'uno e quello occidentale dell'altro sono, insieme, uguali a due retti. Ed è così che, se troviamo dall'Ariete alle Chele gli angoli che si formano ad oriente, saranno condimostrati anche quelli orientali dell'altro emiciclo ed altresì quelli occidentali dei due emicicli. Nel qual modo ciò si διὰ βραχέων ἐκθησόμεθα χρησάμενοι πάλιν ὑποδείγματος ἕνεκεν τῷ αὐτῷ παραλλήλῳ, τουτέστιν καθ' ὃν ὁ βόρειος πόλος ἐξῆρται τοῦ ὁρίζοντος μοίρας λϛ.

αἱ μὲν οὖν ὑπὸ τῶν ἰσημερινῶν σημείων τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου πρὸς τὸν ὁρίζοντα γινόμεναι γωνίαι προχείρως δύνανται λαμβάνεσθαι· ἐὰν γὰρ γράψωμεν μεσημβρινὸν μὲν κύκλον τὸν ΑΒΓΔ, τοῦ δὲ ὑποκειμένου ὁρίζοντος τὸ ἀνατολικὸν ἡμικύκλιον
H157 τὸ ΑΕΔ καὶ τοῦ μὲν ἰσημερινοῦ τεταρτημόριον τὸ ΕΖ, τοῦ δὲ διὰ μέσων τῶν ζῳδίων δύο τό τε ΕΒ καὶ ΕΓ οὕτως ἔχοντα, ὥστε τὸ Ε σημεῖον πρὸς μὲν τὸ ΕΒ τεταρτημόριον νοεῖσθαι μετοπωρινόν, πρὸς δὲ τὸ ΕΓ ἐαρινόν, καὶ τὸ μὲν Β γίνεσθαι χειμερινὸν τροπικόν, τὸ δὲ Γ θερινόν,[7] συνάγεται, ὅτι τῆς μὲν ΔΖ περιφερείας ὑποκειμένης μοιρῶν νδ, ἑκατέρας δὲ τῶν ΒΖ καὶ ΖΓ τῶν ἴσων κγ να ἔγγιστα, καὶ ἡ μὲν ΓΔ γίνεται μοιρῶν λ θ, ἡ δὲ ΒΔ τῶν αὐτῶν οζ να. ὥστ', ἐπεὶ τὸ Ε πόλος ἐστὶν τοῦ ΑΒΓ μεσημβρινοῦ, καὶ τὴν μὲν ὑπὸ ΔΕΓ γωνίαν τὴν γινομένην ὑπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ τοιούτων εἶναι λ θ, οἵων ἐστὶν ἡ μία ὀρθὴ ϟ, τὴν δὲ ὑπὸ ΔΕΒ τὴν γινομένην ὑπὸ τῆς ἀρχῆς τῶν Χηλῶν τῶν αὐτῶν οζ να.



ἵνα δὲ καὶ ἡ τῶν λοιπῶν ἔφοδος φανερὰ γένηται, προκείσθω ὑποδείγματος ἕνεκεν εὑρεῖν τὴν γινομένην ἀνατολικὴν γωνίαν ὑπὸ τῆς ἀρχῆς τοῦ Ταύρου καὶ τοῦ ὁρίζοντος, καὶ ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ ΑΒΓΔ, τοῦ δ' ὑποκειμένου ὁρίζοντος τὸ ἀνατολικὸν ἡμικύκλιον τὸ ΒΕΔ, καὶ γεγράφθω
H158 τοῦ διὰ μέσων τῶν ζῳδίων τὸ ΑΕΓ ἡμικύκλιον, ὥστε τὸ Ε σημεῖον τὴν ἀρχὴν εἶναι τοῦ Ταύρου. καὶ ἐπεὶ ἐν τούτῳ τῷ κλίματι τῆς ἀρχῆς τοῦ Ταύρου ἀνατελλούσης μεσουρανοῦσιν ὑπὸ γῆν αἱ τοῦ Καρκίνου μοῖραι ιζ μα· δεδείχαμεν γάρ, πῶς τὰ τοιαῦτα ἐξ εὐχεροῦς λαμβάνεται διὰ τῶν ἐκτεθειμένων ἡμῖν ἀναφορῶν·[8] ἐλάσσων γίνεται ἡ ΕΓ περιφέρεια τεταρτημορίου. γεγράφθω δὴ



provi, lo esporremo in poche parole utilizzando ancora, a titolo d'esempio, il medesimo parallelo, cioè quello lungo il quale il polo boreale si eleva sull'orizzonte di 36 gradi.

Orbene, gli angoli che si formano tra i punti equinoziali del circolo mediano dei segni e l'orizzonte possono essere prontamente rilevati: se, infatti, descriviamo il circolo meridiano ΑΒΓΔ, l'emiciclo orientale ΑΕΔ dell'orizzonte in oggetto e il quarto dell'equinoziale ΕΖ, e, ancora, del circolo mediano dei segni i due quadranti ΕΒ ed ΕΓ così disposti che il punto Ε rispetto al quarto ΕΒ sia inteso come (equinozio) autunnale, mentre rispetto ad ΕΓ (sia inteso come quello) primaverile, ed il punto Β sia il tropico invernale, mentre Γ quello estivo,[7] se ne conchiude che, essendo per ipotesi l'arco ΔΖ di 54° ed ambedue gli archi ΒΖ e ΖΓ degli stessi 23°51′ circa, (l'arco) ΓΔ risulta di 30°9′, mentre ΒΔ dei medesimi 77°51′. Donde, poiché Ε è il polo del meridiano ΑΒΓ, anche l'angolo sotto ΔΕΓ che si forma all'inizio dell'Ariete è di tali 30°9′, di cui un angolo retto ne ha 90, mentre quello sotto ΔΕΒ all'inizio delle Chele è dei medesimi 77°51′.

Affinché risulti chiaro il percorso per i restanti angoli, ci si proponga, a titolo d'esempio, di trovare l'angolo orientale che si forma tra l'inizio del Toro e l'orizzonte, e ΑΒΓΔ sia il circolo meridiano, ΒΕΔ l'emiciclo orientale dell'orizzonte in oggetto, e si descriva l'emiciclo ΑΕΓ del circolo mediano dei segni, in modo che il punto Ε sia l'inizio del Toro. Dacché in questo clima, levandosi l'inizio del Toro, culminano sotto la terra 17°41′ del Cancro – dimostriamo infatti (più sopra) come si ricavino agevolmente tali valori per mezzo delle anafore da noi date[8] –, l'arco ΕΓ risulta minore d'un quadrante. Si descriva poi con polo in Ε ad una distanza pari al lato di un tetragono (inscritto) la sezione

[7] Per evitare due disegni molto simili, qui Tolemeo li sovrappone, facendone uno solo. Noi, segnando il polo boreale ed estendendo all'emiciclo l'equatore, abbiamo cercato di orientare il lettore meno avvezzo a figurarsi mentalmente la sfera tolemaica, cosicché appaia subito che l'arco ΔΖ rappresenta la colatitudine.

[8] Il calcolo è molto semplice. Dalla *Tavola delle ascensioni* rileviamo che 30°♈, ossia 0°♉, ascendono in 19°12′. Sappiamo altresì (*v. supra*, p. 42 n. 6) che, sommando 90° all'*ascensione obliqua* del grado che sorge, troviamo l'*ascensione retta* del meridiano sotto la terra, cioè 109°12′. Di nuovo, dalla prima colonna della *Tavola delle ascensioni* vediamo che 109°12′ cadono tra 100°55′ e 111°42′. Quindi con una semplice proporzione (10°47′ : 10° = [109°12′- 100°55′] : *x*) troviamo la longitudine eccedente i 10°♋, cioè 7°41′.

πόλῳ τῷ Ε καὶ διαστήματι τῇ τοῦ τετραγώνου πλευρᾷ μεγίστου κύκλου τμῆμα τὸ ΘΗΖ, καὶ προσαναπεπληρώσθω τό τε ΕΓΗ τεταρτημόριον καὶ τὸ ΕΔΘ. γίνεται δὲ καὶ ἥ τε ΔΓΖ καὶ ἡ ΖΗΘ ἑκατέρα τεταρτημορίου διὰ τὸ τὸν ΒΕΘ ὁρίζοντα διὰ τῶν πόλων εἶναι τοῦ τε ΖΓΔ μεσημβρινοῦ καὶ τοῦ ΖΗΘ μεγίστου κύκλου.[9] πάλιν ἐπεὶ αἱ μὲν τοῦ Καρκίνου ιζ μα μοῖραι ἀπέχουσιν τοῦ ἰσημερινοῦ πρὸς τὰς ἄρκτους ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ μεγίστου κύκλου μοίρας κβ μ· ἐκτέθειται γὰρ ἡμῖν καὶ ταῦτα·[10] ὁ δὲ ἰσημερινὸς ἀπέχει τοῦ Ζ πόλου τοῦ ὁρίζοντος ἐπὶ τῆς αὐτῆς περιφερείας τῆς ΖΓΔ μοίρας λϛ, συνάγεται καὶ ἡ ΖΓ περιφέρεια μοιρῶν νη μ. τούτων δὴ δοθέντων γίνεται λοιπὸν διὰ τὴν καταγραφὴν ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΔ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΔΖ λόγος ὁ συνημμένος ἔκ τε τοῦ τῆς ὑπὸ
H159 τὴν διπλῆν τῆς ΓΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΗ καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΗΘ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΘ.[11] ἀλλὰ διὰ τὰ προκείμενα ἡ μὲν διπλῆ τῆς ΓΔ μοιρῶν ἐστιν ξβ μ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ξβ κδ, ἡ δὲ διπλῆ τῆς ΔΖ μοιρῶν ρπ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ρκ, καὶ πάλιν ἡ μὲν διπλῆ τῆς ΓΕ μοιρῶν ρνε κβ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ριζ ιδ, ἡ δὲ διπλῆ τῆς ΕΗ μοιρῶν ρπ καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ρκ. ἐὰν ἄρα ἀπὸ τοῦ λόγου τῶν ξβ κδ πρὸς τὰ ρκ ἀφέλωμεν τὸν τῶν ριζ ιδ πρὸς τὰ ρκ, καταλειφθήσεται ἡμῖν ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΘΗ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΘΖ λόγος ὁ τῶν ξγ νβ πρὸς τὰ ρκ. καί ἐστιν ἡ ὑπὸ τὴν διπλῆν τῆς ΘΖ τμημάτων ρκ· καὶ ἡ ὑπὸ τὴν διπλῆν ἄρα τῆς ΗΘ τῶν αὐτῶν ἐστιν ξγ νβ. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς ΗΘ μοιρῶν ἐστιν ξδ κ, ἡ δὲ ΗΘ αὐτή τε καὶ ἡ ὑπὸ ΗΕΘ γωνία τῶν αὐτῶν λβ ι·[12] ὅπερ ἔδει δεῖξαι.

ὁ δ' αὐτὸς τρόπος, ἵνα μὴ καθ' ἕκαστον ταυτολογοῦντες μηκύνωμεν τὸν ὑπομνηματισμὸν τῆς συντάξεως, καὶ ἐπὶ τῶν λοιπῶν δωδεκατημορίων τε καὶ κλιμάτων ἡμῖν νοηθήσεται.

